# Philemon

## Πρὸς Φιλήμονα

**1** Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς
Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν **2** καὶ Ἀπφίᾳ τῇ ἀδελφῇ
3 καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ Emb κατ’ οἶκόν σου Emb ἐκκλησίᾳ,
**3** χάρις ὑμῖν Split καὶ εἰρήνη Split ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
2 **4** Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε
3 μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
3 **5** ἀκούων TopGen σου τὴν ἀγάπην καὶ τὴν πίστιν,
4 ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους,
3 **6** ὅπως Top ἡ κοινωνία τῆς πίστεώς σου Top ἐνεργὴς γένηται
4 ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστόν.
2 **7** χαρὰν γὰρ πολλὴν ἔσχον Split καὶ παράκλησιν Split ἐπὶ τῇ ἀγάπῃ σου,
3 ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.
**8** Διὸ πολλὴν ἐν Χριστῷ Split παρρησίαν ἔχων
3 ἐπιτάσσειν σοι τὸ ἀνῆκον
3 **9** διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,
4 Top+ τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης
5 Sit νυνὶ δὲ καὶ δέσμιος Χριστοῦ Ἰησοῦ·
2 **10** παρακαλῶ σε περὶ Emb τοῦ ἐμοῦ Emb τέκνου,
3 ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς, Ὀνήσιμον,
3 **11** τόν Sit ποτέ σοι ἄχρηστον
3 Sit νυνὶ δὲ [καὶ] σοὶ καὶ ἐμοὶ εὔχρηστον,
3 **12** ὃν ἀνέπεμψά σοι,
2 αὐτόν,
Top+ τοῦτ’ ἔστιν τὰ ἐμὰ σπλάγχνα·
3 **13** ὃν Top ἐγὼ ἐβουλόμην
5 πρὸς ἐμαυτὸν κατέχειν,
4 ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου,
**14** χωρὶς δὲ τῆς σῆς γνώμης Constit οὐδὲν ἠθέλησα ποιῆσαι,
3 ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ
4 ἀλλὰ κατὰ ἑκούσιον.
**15** τάχα γὰρ Cata διὰ τοῦτο Cata ἐχωρίσθη πρὸς ὥραν,
3 ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,
4 **16** οὐκέτι ὡς δοῦλον
4 ἀλλ’ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν,
5 μάλιστα ἐμοί,
5 πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ.
**17** Sit Εἰ οὖν Top Sit με ἔχεις κοινωνόν, Sit
2 προσλαβοῦ αὐτὸν ὡς ἐμέ.
**18** Sit εἰ δέ Emb Sit τι ἠδίκησέν σε ἢ ὀφείλει, Sit
2 Top+ τοῦτο ἐμοὶ ἐλλόγα.
**19** Top ἐγὼ Παῦλος Top ἔγραψα τῇ Emb ἐμῇ χειρί,
ἐγὼ ἀποτίσω·
3 ἵνα μὴ λέγω σοι
4 ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.
**20** ναὶ ἀδελφέ, Top ἐγώ σου ὀναίμην ἐν κυρίῳ·
2 ἀνάπαυσόν TopGen μου τὰ σπλάγχνα ἐν Χριστῷ.
**21** Πεποιθὼς τῇ ὑπακοῇ σου
2 ἔγραψά σοι,
3 εἰδὼς
4 ὅτι καὶ ὑπὲρ ἃ λέγω ποιήσεις.

22 Sit ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν·
2 ἐλπίζω γὰρ
3 ὅτι Sit διὰ τῶν προσευχῶν ὑμῶν Sit χαρισθήσομαι ὑμῖν.
2 23 Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,
3 24 Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.
25 Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν.